[illegible]

Καὶ διδασκαλίας προς ἐν καταρτισμον τῶν ἁγίων
εἰς ἔργον τῆς διακονίας εἰς οἰκοδομὴν τοῦ σώματος
τοῦ χρ̄ μέχρι καταντήσω πάντες εἰς τὴν ἑνότητα
τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ ὑ̄ εἰς ἀν
δρα τελεῖον εἰς μέτρον ἡλεικίας τοῦ πλη
ρώματος τοῦ χρ̄ ἵνα μὴ κέτει ὦμεν ἔτι
κλυδωνειζόμενοι καὶ περιφερόμενοι πάντι ἀνέμω
τῆς διδασκαλίας ἐν τῇ κυβίᾳ τῶν ἀνθ̄ ἐν τῇ
πανουργίᾳ προς τὴν μεθοδίαν τῆς πλάνης Αλη
θίαν δὲ ποιοῦντες ἐν ἀγάπῃ Αὐξήσομεν εἰς
αὐτὸν τὰ πάντα. ὃς ἐστιν κεφαλὴ ὁ χ̄ ἐξ οὗ
πάντο σῶμα συναρμολογούμενον καὶ συν βιβαζομε
νον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας ἐν μέτρῳ
ἑνὸς ἑκάστου μέρους τὴν αὐξήσιν τοῦ σώματος
ποιεῖτε εἰς οἰκοδομὴν αὐτοῦ ἐν ἀγάπῃ τοῦτο
οὖν λέγω καὶ μαρτύρομαι ἐν κ̄ῳ μὴ κέτει
ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ ἔθνη περιπατεῖ
ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ἐσκοτω
μένοι τῆς ζωῆς τοῦ θ̄ διὰ τὴν ἀγνωσίαν
τὴν οὖσαν ἐν αὐτοῖς διὰ τὴν πωρωσίν τῆς
καρδίας αὐτῶν. οἵτινες ἀφηλπικότες ἑαυτοῦς
παρέδωκαν τῇ ἀσελγίᾳ εἰς ἐργασίαν πάσης.